144. THE TRIUMPHAL ENTRY (Mk-Lk Inclusions)

| Mark 11:1-11 | Luke 19:29-44 |
|---|---|
| Καὶ ὅτε ἐγγίζουσιν | Καὶ ἐγένετο ὡς ἤγγισεν |
| εἰς Ἱεροσόλυμα | |
| εἰς Βηθφαγὴ καὶ Βηθανίαν | εἰς Βηθφαγὴ καὶ Βηθανία |
| πρὸς τὸ Ὄρος τῶν | πρὸς τὸ ὄρος τὸ καλούμενον |
| Ἐλαιῶν, | Ἐλαιῶν, |
| ἀποστέλλει | ἀπέστειλεν |
| δύο τῶν μαθητῶν αὐτοῦ | δύο τῶν μαθητῶν |
| 2 καὶ λέγει αὐτοῖς, | 30 λέγων, |
| Ὑπάγετε | Ὑπάγετε |
| εἰς τὴν κώμην τὴν κατέναντι | εἰς τὴν κατέναντι κώμην, |
| ὑμῶν, | |
| καὶ εὐθὺς | |
| εἰσπορευόμενοι εἰς αὐτὴν | ἐν ᾗ εἰσπορευόμενοι |
| εὑρήσετε | εὑρήσετε |
| πῶλον δεδεμένον | πῶλον δεδεμένον, |
| ἐφ᾽ ὃν οὐδεὶς οὔπω ἀνθρώπων | ἐφ᾽ ὃν οὐδεὶς πώποτε ἀνθρώπων |
| ἐκάθισεν· | ἐκάθισεν, |
| λύσατε αὐτὸν καὶ φέρετε. | καὶ λύσαντες αὐτὸν ἀγάγετε. |
| 3 καὶ ἐάν τις ὑμῖν εἴπῃ, | 31 καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, |
| Τί ποιεῖτε τοῦτο εἴπατε, | Διὰ τί λύετε οὕτως ἐρεῖτε ὅτι |
| Ὁ κύριος αὐτοῦ χρείαν ἔχει, | Ὁ κύριος αὐτοῦ χρείαν ἔχει. |
| καὶ εὐθὺς αὐτὸν ἀποστέλλει πάλιν ὧδε. | |
| 4 καὶ ἀπῆλθον | 32 ἀπελθόντες δὲ |
| | οἱ ἀπεσταλμένοι |
| καὶ εὗρον | εὗρον |
| | καθὼς εἶπεν αὐτοῖς. |
| πῶλον δεδεμένον πρὸς θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου, | |
| καὶ λύουσιν | 33 λυόντων δὲ αὐτῶν |
| αὐτόν. | τὸν πῶλον |
| 5 καί τινες τῶν ἐκεῖ ἑστηκότων | |

| | |
|---|---|
| ἔλεγον αὐτοῖς, | εἶπαν |
| | οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς, |
| *Τί* ποιεῖτε λύοντες | *Τί* λύετε |
| τὸν πῶλον | τὸν πῶλον |
| 6 οἱ δὲ εἶπαν αὐτοῖς | 34 οἱ δὲ εἶπαν ὅτι |
| καθὼς εἶπεν ὁ Ἰησοῦς· | Ὁ κύριος αὐτοῦ χρείαν ἔχει. |
| καὶ ἀφῆκαν αὐτούς. | |
| 7 καὶ φέρουσιν | 35 καὶ ἤγαγον |
| τὸν πῶλον | αὐτὸν |
| πρὸς τὸν Ἰησοῦν, | πρὸς τὸν Ἰησοῦν, |
| καὶ ἐπιβάλλουσιν αὐτῷ | καὶ ἐπιρίψαντες αὐτῶν |
| τὰ ἱμάτια αὐτῶν, | τὰ ἱμάτια ἐπὶ τὸν πῶλον |
| καὶ ἐκάθισεν ἐπ αὐτόν. | ἐπεβίβασαν τὸν Ἰησοῦν. |
| | 36 πορευομένου δὲ αὐτοῦ |
| 8 καὶ πολλοὶ | |
| τὰ ἱμάτια αὐτῶν ἔστρωσαν | ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν |
| εἰς τὴν ὁδόν, | ἐν τῇ ὁδῷ. |
| ἄλλοι δὲ στιβάδας κόψαντες | |
| ἐκ τῶν ἀγρῶν. | |
| | 37 Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ Ὄρους τῶν Ἐλαιῶν |
| 9 καὶ οἱ προάγοντες | ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν |
| καὶ οἱ ἀκολουθοῦντες | μαθητῶν |
| | χαίροντες αἰνεῖν τὸν θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυνάμεων, |
| ἔκραζον, | 38 λέγοντες, |
| Ὡσαννά· | |
| Εὐλογημένος ὁ ἐρχόμενος | Εὐλογημένος ὁ ἐρχόμενος |
| | ὁ βασιλεὺς |
| ἐν ὀνόματι κυρίου· | ἐν ὀνόματι κυρίου· |
| 10 Εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς ἡμῶν Δαυίδ· | |
| | ἐν οὐρανῷ εἰρήνη |
| Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. | καὶ δόξα ἐν ὑψίστοις. |

*39 καί τινες τῶν Φαρισαίων ἀπὸ*
*τοῦ ὄχλου εἶπαν πρὸς αὐτόν,*
*Διδάσκαλε, ἐπιτίμησον τοῖς*
*μαθηταῖς σου.*
*40 καὶ ἀποκριθεὶς*
*εἶπεν, Λέγω ὑμῖν, ἐὰν οὗτοι*
*σιωπήσουσιν, οἱ λίθοι κράξουσιν.*
*41 Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν*
*ἔκλαυσεν ἐπ αὐτήν,*
*42 λέγων ὅτι*
*Εἰ ἔγνως ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ σὺ*
*τὰ πρὸς εἰρήνην· νῦν δὲ ἐκρύβη ἀπὸ*
*ὀφθαλμῶν σου.*
*43 ὅτι ἥξουσιν*
*ἡμέραι ἐπὶ σὲ καὶ παρεμβαλοῦσιν*
*οἱ ἐχθροί σου χάρακά σοι καὶ*
*περικυκλώσουσίν σε καὶ*
*συνέξουσίν σε πάντοθεν,*
*44 καὶ*
*ἐδαφιοῦσίν σε καὶ τὰ τέκνα σου ἐν*
*σοί, καὶ οὐκ ἀφήσουσιν λίθον ἐπὶ*
*λίθον ἐν σοί, ἀνθ ὧν οὐκ ἔγνως τὸν*
*καιρὸν τῆς ἐπισκοπῆς σου.*

*11 Καὶ εἰσῆλθεν*

*εἰς Ἱεροσόλυμα εἰς τὸ ἱερόν·*

*καὶ περιβλεψάμενος πάντα,*

*ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν*
*εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.*

128 words out of 441 words = 20%